# Παράκληση Οσίου Εφραίμ Κατουνακιώτου



Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ' (142) Ψαλμόν.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μὴ ἀποστρέψης τό πρόσωπόν Σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου, ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος ἅ΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. γ'. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ τὸ ἑξῆς·

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Μετ'ευφροσύνης εὐφημήσωμεν πάντες, Ἐφραίμ τόν θεῖον ἀσκητήν τόν ἐν Ὄρει, Ἅγιον ἥμων λάμψαντα ἐσχάτοις πιστοῖ, καί αὐτοῦ πρός Κύριον εὐπροσδέκτους πρεσβείας, πίστει ἐκζητήσωμεν δεξιός παραστάτης, οὗπερ ὑπάρχει νῦν ἐν οὐρανοῦ, τῆς αἰωνίου, μετέχων λαμπρότητος.

Δόξα. Καί νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν πότε Θεοτόκε, τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμή γάρ Σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν' (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημα μου. Ἐπί πλεῖον πλῦνόν με ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιον μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιον Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαι Σε. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας, τά ἄδηλα καί τά κρύφια τῆς σοφίας Σου ἐδήλωσας μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπον Σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μή ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου,

ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τά χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσιν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σίων καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριον Σου μόσχους.

Καί ὅ κανών οὗ ἡ ἀκροστιχίς·
Εὐχῆν ἀσίγητον δος μοὶ σε νῦν ὑμνοῦντι.

Ὠδῇ ἅ΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.
Ἐργάτης σε ἄοκνον προσευχῆς, Ἐφραίμ μεγαλύνω καί ἀγῶνας δία Χριστόν, τοῖς πᾶσι κηρύττω θεοφόρε, σής πατρικῆς εὐλογίας δεόμενος.

Ὑπάκουος σῶφρον καί ταπεινός, Χριστόν ἠκολούθεις τόν νυμφίῳ σου τῆς ψυχῆς, Ἐφραίμ ἀξιάγαστε μή παύσεις, πρός ὁν πρεσβεύων ὑπέρ τῶν ὑμνούντων σε.

Χαράν τήν οὐράνιον ἐκζητῶν, ἐν κόπῳ καί πόνῳ βίον ἤγαγες ἱερόν, διό οὐ νουθετῇς σῶσον αἴρει, τόν σταυρόν τῆς ἐνθέου βιώσεως.

Θεοτοκίον.
Ἡ Λόγον τεκοῦσα τόν τοῦ Πατρός, ἀλόγων παθῶν με λογισμῶν καί ἐκ ῥυπαρῶν, καθάρισον Δέσποινα βοῶσι, ὁ ταπεινός καί ἀνάξιος δοῦλος σου.

Ὠδῇ γ΄. Οὐρανίας ἁψῖδος.
Νοερῶς με κραυγάζω ἀνελλιπῶς Κύριε, Ἰησοῦ Χριστέ ὁ Θεός μου, σύ με ἐλέησον, δίδαξον Ὅσιε, τύχω ὁ τάλας ἐλέους, τύχω καί ἀφέσεως πάντων πταισμάτων μου.

Ἀσίγητος φυλάττω τήν σήν ψυχήν Ὅσιε, καί ἐκ πειρασμῶν καθαράν σου, καί τήν διάνοιαν, Ἐφραίμ μακάριε χάριτος σκῆνος ἐγένου, ἥν κάμοι πρέσβεαις σου δόι ὁ Κύριος.

Σαρκοφόρος καθελών Πάτερ Ἐφραίμ ἔφθασας, τάς τῶν ἀσωμάτων χορείαις ὡς ὁμολόγησαι γέρων σου Ἅγιε ὁ βαθυτάτων ἐν γήρα διό μέσων δεήσεων σκέπασον πτέρυξι.

Θεοτοκίον.

Ἰατρόν τετοκυῖα τῶν τῆς ψυχῆς Ἄχραντε, καί τῶν σαρκικῶν νοσημάτων, δίδου κατ΄άμφω μοι, ὡς εὐσυμπάθητος Χριστιανῶν ὁ προστάτης, τήν ὑγείαν δέομαι, Θεόγενητρια.

Διάλυσον, Ἐφραίμ μακάριε Ὅσιε πάντα ἔφη πειρασμῶν ἐξ ἐχθροῦ τόν νοῦν μου σκοτίζοντα, πρεσβείαις σου πταισόντων φωτοφόροις.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις καί τό κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.
Σωφόν Ιωσήφ πατέρα καί διδάσκαλο, ἀνεῦρες Εφραίμ καί ούτου παραινέσεσι, ἀκριβῶς δι’ ὕμνησας τήν ὀδόν μυστικήν τῆς καθάρσεως, καί αἰωνίου ἔτι καί ζωῆς σύν τοῦτο ὑπέρ ἡμῶν δεόμενος.

Ὠδῇ δ΄. Εἰσακήκοα Κύριε.
Γνῶσιν ἔλαβες ἔνθεον δία πρακτικῆς Ἐφραίμ ἐργασίας σου, ἐντολῶν καί ἐκπληρώσεως ἆς κάμε πλήρωσαι ἐπιστήριξον.

Ηὗρες ὄντως ἀνάπαυσιν ἐν τῇ ταπεινῶσι καί θελημάτων σου, ἐκκοπῇ Ἐφραίμ κραυγάζουσι ὅθεν ὑπέρ σου με συνέτισον.

Τῶν Θηβῶν πέλων βλάστημα ἐν Κατουνακίων ἐρήμῳ ἤνθησας, καί ὡς ἄνθος εὐωδέστατον, τούς πιστούς εὐφραίνεις εὐφημοῦντας σε.

Θεοτοκίον.
Ὅταν ἔλθῃ ὁ Κύριος κρῖνε τούς ἀνθρώπους δικαίους Ἄχραντε, σύν Ἐφραίμ σεπτῷ ἱκέτῃ σου πρέσβευε ὑπέρ ἐμοῦ ὡς εύσπλαχνός.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.
Νῆψι καί εὐχή, τό Χριστῷ ὁμιλεῖς πάντοτε, ὀν γηθόμενος ὁρᾷς νῦν καθαρός, ἱκετεύων, ὑπέρ πάντων τῶν ὑμνούντων σε.

Δάκρυα θερμά, προσευχῆς Ἐφραίμ ἀνέβλυζον, ἐξ ὀμμάτων σου ὁπότε λειτουργόν, τοῦ Κυρίου, ἐψηλάφησας σῶμα τίμιον.

Ὁ Θεός δεινῶν, μηχανῶν ὤφθης ἀνώτερος, θεία χάριτι ῥωννύμενος Ἐφραίμ, οὐ μερίσαι λογισμοῖς με ἐκ πειράζοντος.

Θεοτοκίον.
Σκεῦος τόν Θεόν, τόν χωρῆσαν μόνη Δέσποινα, γενομένη με δοχεῖον καθαρόν, χαρισμάτων τοῦ Ἀγίου δεῖξον Πνεύματος.

ᾨδή στ΄. Τήν δέησιν.
Μαρτύριον, ἀληθῶς ἀναίμακτον, συνειδήσεως ὑπέμεινας πάτερ, δία Χριστόν ἑκουσίως καί χαίρων, τήν τεθλιμμένην ὁδόν ἐξετέλεσας, ἀπάγουσαν είς τήν ζωήν, εἰς καλῶς με βαδίσῃ ἀξίωσον.

Οὐράνιος, τῆ μορφῇ πανόλβιε, καί καλῶς ιλεωμένος εὐφραίνου, ἐν τῆ φρικτή μυστηρίου ἀχράντῳ ἱερουργία Ἐφραίμ ἀξιάγαστε, εἰς δίδου πάντοτε ἡμῖν, προσεγγίζειν ἀξίως τοῖς δούλοις σου.

Ἰλέωσαι, τόν Χριστῷ σε πόθῳ σε, μεγαλύνουσι Ἐφραίμ θεοφόρε, ὅτι πολύς ἁμαρτήμασι πάντες, ῥερυπωμένην ἔμεν καί ὀλισθαίνομεν, ἰδεῖν τό πρόσωπον αὐτοῦ, ὑμνήσεως μεσίτην σε ἔχομεν.

Θεοτοκίον.
Συνέτησον, τήν ἐμήν διάνοιαν, θεοτόκε τοῦ φρονεῖν τε καί πρατεῖ, πρός τοῦ Υἱοῦ καί Θεοῦ σου Παρθένε, τήν εὐαρέστησιν πάντα ἀλλοτριῶν, γενέσθαι καί τῶν δυσσεβῶν, ἐν ἴον με καί πράξεων πάντοτε.

Διάλυσον, Ἐφραίμ μακάριε Ὅσιε παντα ἔφη πειρασμῶν ἐξ ἐχθροῦ τόν νοῦν μου σκοτίζοντα, πρεσβείαις σου τεσώντων φωτοφόροις.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Αἴτησις καί τό Κοντάκιον.
Ἦχος γ΄.
Τῆ ὡραιότητι, Χριστοῦ ἑλκόμενος, κατηκολούθησας, αὐτοῦ τοῖς ἴχνεσι, ἐν προσευχή ὑπακοή, ἀσκήσει καί ταπείνωσι, καί Ὁσίων γέγονας, απ’αιώνων συνόμιλος, μοναστῶν διδάσκαλον, καί πιστῶν νέον καύχημα, Εφραίμ Κατουνακιώτα θεόφρον, ὅθεν ἀξίως ὑμνοῦμεν.

Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Εὐαγγέλιον, Ἐκ τοῦ κατά Λουκᾶν (Κεφ. στ’, 17-22).

Τ'ῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ ᾿Ιησοῦς ἐπί τόπου πεδινοῦ, καί ὄχλος μαθητῶν αὐτοῦ, καί πλῆθος πολύ τοῦ λαοῦ ἀπό πάσης τῆς ᾿Ιουδαίας καί ῾Ιερουσαλήμ καί τῆς παραλίου Τύρου καί Σιδῶνος, οἵ ἦλθον ἀκοῦσαι αὐτοῦ, καί ἰαθῆναι ἀπό τῶν νόσων αὐτῶν, καί οἱ ὀχλούμενοι ἀπό πνευμάτων ἀκαθάρτων, καί ἐθεραπεύοντο. Καί πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ᾿ αὐτοῦ ἐξήρχετο, καί ἰᾶτο πάντας. Καί αὐτός, ἐπάρας τούς ὀφθαλμούς αὐτοῦ εἰς τούς Μαθητάς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστίν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καί ὅταν ἀφορίσωσιν ὑμᾶς, καί ὀνειδίσωσι, καί ἐκβάλωσι τό ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καί σκιρτήσατε· ἰδού γάρ ὁ μισθός ὑμῶν πολύς ἐν τῷ οὐρανῷ.

Δόξα.
Ταῖς τοῦ σου Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί Νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Μόνην ἐν ἀγώνιον μέριμνα ἔσχες ἀρέσαι, τῷ Κυρίῳ πάντοτε, Ὅσιε θεόληπτε Ἐφραίμ ᾔτησε, προσευχήν ἀσκήσειν ὑψηλούς ἀγῶνας, προσευχήν καί ἀδιάλειπτον Πάτερ προέτρεπε καί τόν πρῶτον ζῆλον σου ηὔξανε διό τανῦν σου δέομαι, δώρισαι τοιαύτην μή μέριμνα, ἶνα μετανοίᾳ τά πλύθυ ἀποβαλόντων παθῶν καί τῷ Δεσπότῃ δουλεύσωσι μου πᾶσι ὁσιότητι.

Σῶσον ὁ Θεός τόν λαό σου...

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Εὐλαβῶς σοι ὑπετάγης Ἰωσήφ τῷ Ὁσίῳ καί τούτου ἴχνεσι, πιστῶς ἀκολουθήσας, τῆς δόξης Παραδείσου, ἠξιώθης γηθόμενος, μεθ'ου Χριστῷ τῷ Θέο, ὑπέρ ἡμῶν δυσώπει.

Νέκταρ ἔπιες Μάκαρ τῷ οὐράνιον πόθῳ Ἐφραίμ Πανόλβιε, πηγῆς ἐκ ζωηφόρου, τῆς χάριτος τῆς θείας, ψηλαφητός τοῖς ωφθής ση ἐν προσευχῆς πολλαπλοῦς,

καί θεωρία ξένη.

Ὑμνῳδίας Ἀγγέλων ὡς Ἰσάγγελος ὄντως Ἐφραίμ εἰσήκουσας, ἀλλά νῦν ἐν τῷ πόλῳ, Θεόν τόν ἐν Τριάδι, σύν ὑμνεῖς τοῖς πάντοτε, δίδαξον οὖν καί ἥμας Θεόν σεπτός δοξάζειν.

Θεοτοκίον.
Νοσημάτων σαρκίου ἡ Πανάμωμος Μήτηρ σε ἐλυτρώσατο, Έφραίμ ὡσί προστάτης, τῶν μοναστῶν καί πάντων, τῶν πιστῶν ἡ βοήθεια, ἧς καί ἡμεῖς εὐσεβῶς, προσφεύγωμεν τῇ σκέπῃ.

ᾨδὴ η΄. Τόν Βασιλέα.
Ὑπακοῇ σου, τῆς ἐκκλησίας ἐδείχθης, ὡς ἀστήρ γενεαῖς ἐν ἐσχάτοις, υπέρκοσμησόν μου, τόν νοῦν καί τήν καρδίαν.

Μύστης ἐγένου, θεωριῶν οὐρανίων, καί πολλῶν θαυμασίων αὐτόχροις, διό νῦν ἥμας ἐγείρεις, πρός κρείτονας ἀγῶνας.

Νεῦσι Ἀγία, τῆς ἐκκλησίας εἰς κόλπους, ἱερούς ἀνεπαύθης διώξας, πλάνην καί προστάτης, ἡμῶν φανείς ἐκ ταύτης.

Θεοτοκίον.
Ὀχλούμενον με, ἐκ πειρασμῶν τῶν ποικίλων Μαριάμ περιφρούρησον τάχος, ὥσπερ ἐν ποικίλων, ημίν σου δεόμενοι.

ᾨδή θ΄. Κυρίως Θεοτόκον.
Ὑπό τήν πατρικήν σου, Πάτερ προστασία, ἐν τοῖς χειμέροις καιροῖς νῦν προστρέχουσιν, μή ἐπηλάθης σόν δοῦλον μεγαλυνόντων σε.

Νομίμως ἠγωνίσω, ἐκ χειρῶν Κυρίου, καί τούς ἀφθάρτους στεφάνους ἀπέλαβες, πρός ἱκέτιδας χεῖρας ὑψῶσον Ὅσιε.

Τῆς προσευχῆς με δεῖξον, οἶκον θεοφόρε, ἐρηρεισμένον στερρῶς ὡς ἐδίδασκες, ὑπακοή τῇ τελεία, καί πίστει Ἅγιε.

Θεοτοκίον.
Ἰδεῖν τήν Βασιλεία, Δέσποινα μή δίδου, τοῦ σου Υἱοῦ καί Θεόυ τήν αἰώνιον, εἰς σε γάρ πᾶσαν ἐλπίδα μόνην ἀνέθηκας.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί

παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καί τά παρόντα Μεγαλυνάρια,
Χαίροις ὁ θεόληπτος ἀσκητής, ἡσυχίας μύστης ἀγρυπνίας ὑπακοῆς, καί εὐχῆς ἀπαύστου, Ἐφραίμ Κατουνακιώτα, καί τῶν πατέρων πάντων ὄντως ὁμόζηλος.

Χαίρει καί ἀγάλλεται ἀληθῶς, τό Ἅγιον Ὄρος νέον καύχημα σε εὑρόν, Ἐφραίμ θεοφόρε, καί ἐκκλησία πᾶσα, σούς ἄθλους καί ἀγῶνας ὕμνοις δοξάζουσα.

Χαίροις τῶν Ἀγγέλων ὁ μιμητῆς, βίῳ σου ἀμέμπτῳ καθαρότητι λογισμῶν, καί τῇ ἀενάου, Ἐφραίμ Θεοῦ λατρείας, μεθ’ων ἰνᾷ ἀναμέλπεις ὕμνον τρισάγιον.

Τρίβον διανύσας ἀσκητικοῖς, ἔφθασας εἰς πόλις διαμένουσαν ἐς ἀεί, ἐν νῦν μετέχεις, ἀφράστου εὐφροσύνης, καί Θεου κοινωνίας τοῖς πόθου μένεις σύ.

Προσευχῆς τόν ζήλο σου τήν ἐμήν, πλούτισον καρδίας καί ἐκ πάντων τῶν χαμερπῶν, χώρισον παθῶν με, Ἐφραίμ Ὅσιε Πάτερ, εὐχαῖς σου πρός τόν μόνον ὄντως φιλάνθρωπον.

Τοῦ Ἐφραίμ τοῦ Σύρου πάτερ σοφέ, ἡ ὁμωνυμίᾳ ἐτιμήθης καί ἀληθῶς, τούτου ἀνεδείχθης, ὁμότροπος ἐν πάσι, δακρύων νήφων πόθῳ καί προσευχόμενος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματος σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομα σου· ἐλθέτω ἡ βασιλεία

σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομα Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καὶ τό Ἀπολυτίκιον. Ἦχος πλ. α΄.Τόν συνάναρχον Λόγον.
Τήν βροτούς δυναμένῃ Θεός σε ἴσχυσας, ὑπακοήν τήν τελείαν, ὡς ὁ Υἱός τῷ πατρί, καί Θεός νῦν κατά χάριν πέλεις Ὅσιε, ἐν Παραδείσῳ τῆς τρυφῆς, οὐ μετέσχεσε χτίζων τῇ νοερά προσευχήν σου, Ἐφραίμ πατέρων τό κλέος, Κατουνακίων νέον καύχημα.

Δόξα. Ἓτερο Απολυτίκιον. Ἦχος δ΄. Ταχύ προκατάλαβε
Δία φύσεως διηνεκής σου, σκεῦος γέγονας τοῦ Παρακλήτου, μοναχικῶν ἀρετῶν ἡ ἐνσάρκωσις, καί βιοτῆς θεαρέστου ὑπόδειγμα, καί μυστηρίων λευίτης οὐράνιος, Πάτερ Ὅσιε Ἐφραίμ ἀκλινῶς ἱκέτευε, ὑπέρ τῶν ἀνυμνούντων σε τόν Κύριον.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.
Σε τήν μεσιτεῦσαν τήν σωτηρία τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν θεοτόκε Παρθένε, ἐν τῇ σαρκί γάρ τῇ ἐκ σου πρός λειφθείς ὁ Υἱός σου καί Θεός ἧμων, τόν δία Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθοράς ὡς

φιλάνθρωπος.

Ἐκτενής καί Ἀπόλυσις, μεθ’ ἥν ψάλλομεν τά ἑξῆς·

Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.
Ἔχων τήν ἁγνείαν τῆς ψυχῆς, ὥσπερ προσευχόμενος ἔγνω, ὡς ὁ Πατήρ Ἰωσήφ, τόν Χριστόν ἠγάπησας εἰς τέλος Πάτερ Ἐφραίμ, καί αὐτό ἠκολούθησας ἀσκήσει ἀμέμπτῳ, ὥστέ ἀγαλλόμενος, ἡ ὡς Θεοῦ καί Χριστοῦ, νῦν συγκληρονόμος ὑπάρχειν, ἐν τῶν οὐρανῶν βασιλεία, εἰς με δεῖξον μέτοχον πρεσβείαις σου.

Δέσποινα πρόσδεξαι τάς δεήσεις τῶν δούλων Σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.